20 τῆς γῆς ἐξῄροντο οἱ τροχοί. [20]οὗ ἂν ἦν ἡ νεφέλη, ἐκεῖ τὸ πνεῦμα
τοῦ πορεύεσθαι· ἐπορεύοντο τὰ ζῷα καὶ οἱ τροχοὶ καὶ ἐξῄροντο
21 σὺν αὐτοῖς, διότι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. [21]ἐν τῷ πο-
ρεύεσθαι αὐτὰ ἐπορεύοντο καὶ ἐν τῷ ἑστάναι αὐτὰ εἱστήκεισαν
καὶ ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς γῆς ἐξῄροντο σὺν αὐτοῖς, ὅτι
22 πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. [22]καὶ ὁμοίωμα ὑπὲρ κεφαλῆς
αὐτοῖς τῶν ζῴων ὡσεὶ στερέωμα ὡς ὅρασις κρυστάλλου ἐκτετα-
23 μένον ἐπὶ τῶν πτερύγων αὐτῶν ἐπάνωθεν· [23]καὶ ὑποκάτω τοῦ
στερεώματος αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι, πτερυσσόμεναι ἑτέρα
τῇ ἑτέρᾳ, ἑκάστῳ δύο συνεζευγμέναι ἐπικαλύπτουσαι τὰ σώματα
24 αὐτῶν. [24]καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν ἐν τῷ πο-
ρεύεσθαι αὐτὰ ὡς φωνὴν ὕδατος πολλοῦ· καὶ ἐν τῷ ἑστάναι αὐτὰ
25 κατέπαυον αἱ πτέρυγες αὐτῶν. [25]καὶ ἰδοὺ φωνὴ ὑπεράνωθεν τοῦ
26 στερεώματος τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν. [26]ὡς ὅρασις λίθου
σαπφείρου ὁμοίωμα θρόνου ἐπ᾽ αὐτοῦ, καὶ ἐπὶ τοῦ ὁμοιώματος
27 τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν. [27]καὶ εἶδον ὡς
ὄψιν ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω, καὶ ἀπὸ ὁράσεως
ὀσφύος καὶ ἕως κάτω εἶδον ὡς ὅρασιν πυρὸς καὶ τὸ φέγγος αὐ-
28 τοῦ κύκλῳ. [28]ὡς ὅρασις τόξου, ὅταν ᾖ ἐν τῇ νεφέλῃ ἐν ἡμέρᾳ
ὑετοῦ, οὕτως ἡ στάσις τοῦ φέγγους κυκλόθεν. αὕτη ἡ ὅρασις
ὁμοιώματος δόξης κυρίου· καὶ εἶδον καὶ πίπτω ἐπὶ πρόσωπόν μου
καὶ ἤκουσα φωνὴν λαλοῦντος.

2 [1]Καὶ εἶπεν πρός με Υἱὲ ἀνθρώπου, στῆθι ἐπὶ τοὺς πόδας σου,
2 καὶ λαλήσω πρὸς σέ. [2]καὶ ἦλθεν ἐπ᾽ ἐμὲ πνεῦμα καὶ ἀνέλαβέν με
καὶ ἐξῆρέν με καὶ ἔστησέν με ἐπὶ τοὺς πόδας μου, καὶ ἤκουον
3 αὐτοῦ λαλοῦντος πρός με, [3]καὶ εἶπεν πρός με Υἱὲ ἀνθρώπου, ἐξα-
ποστέλλω ἐγώ σε πρὸς τὸν οἶκον τοῦ Ισραηλ τοὺς παραπικραί-
νοντάς με, οἵτινες παρεπίκρανάν με αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν
4 ἕως τῆς σήμερον ἡμέρας, [4]καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος

**20** init.] pr. και Bc† | ην ἡ] ᾗ Bc: cf. 12 | τα ζωα και > B† | και 2° > A | ην ult. > B || **21** ην] > Bc, in fin. tr. A† || **23** υποκατω] + θεν B(c?) | ετερα τη ετερα] εκατερα τη εκατερα Bc†: sim. *L* | συνεζευγμ. > B | τα σωματα] τω σωματι τα προσωπα A† || **24** πολλου B†] + ως φωνην ικανου εν τω πορευεσθαι αυτα φωνη του λογου ως φωνη παρεμβολης A (in *O* sub ※) || **25** υπερανωθεν] θεν > A† | fin. B†] + εν τω εσταναι αυτα ανιεντο αι πτερυγες αυτων (26) και υπερανω του στερεωματος του υπερ κεφαλης αυτων A (in *O* sub ※) || **26** επ αυτω A || **27** ηλεκτρου B†] + ως ορασις πυρος εσωθεν αυτου κυκλω A (in *O* sub ※) || **28** ημερα] -ραις BApau. | ομοιωματος] -μα της A†

**2 2** εξηρεν] εξηγειρεν A || **3** εξαποστελω A | εως B†] pr. ηθετησαν εν εμοι rel. (in *O* sub ※) || **4** init. B†] pr. και υιοι σκληροπροσωποι και στερεοκαρδιοι εγω αποστελλω σε προς αυτους A (in *O* sub ※) | κυριος Bpau.] + κυριος Amu. = 𝔐; κυριος κυριος = אדני יהוה etiam in B passim inuenitur, sed plerumque κυριος semel tantum, cf. Corn. p. 173/4; ego codicem B ubique

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/776 UNIVERSITÄT LEIPZIG